«Ὅσιε Πάτερ, οὐκ ἔδωκας ὕπνον σοῖς ὀφθαλμοῖς, οὐδὲ τοῖς βλεφάροις σου νυσταγμόν, ἕως οὗ τὴν ψυχὴν καὶ τὸ σῶμα, τῶν παθῶν ἠλευθέρωσας», «ὅθεν πᾶσιν ἐβόας· Ἀγαπήσατε τὸν Θεόν, καὶ εὑρήσετε χάριν αἰώνιον· μηδὲν προτιμήσητε τῆς ἀγάπης αὐτοῦ».

Τοὺς πατρικοὺς τούτους λόγους και τὴν ἱερὰν ταύτην προτροπὴν τοῦ Ἁγίου Συμεὼν ἠκούσαμεν σήμερον ἠχουμένην ἐν τοῖς ὠσῖν τῶν καρδιῶν ἡμῶν ἕκαστος κατὰ τὸ μέτρον τῆς δεκτικότητός αὐτοῦ, Πανοσιολογιώτατε Ἅγιε Καθηγούμενε καὶ ἀγαπητοὶ ἐν Χριστῷ Πατέρες καὶ ἀδελφοί. Τὴν προτροπὴν τοῦ Ἁγίου, ὅστις βοᾷ ταύτην καὶ προφέρει πρὸς ἡμᾶς οὐχὶ διὰ πηλίνων χειλέων ἀλλὰ διὰ τοῦ ἐμψύχου παραδείγματος αὐτοῦ ὅπερ καὶ καλεῖ ἡμᾶς ὅπως μιμηθῶμεν. Καθότι ἐκεῖνος ἠγάπησε τὸν Θεὸν, ἐξ ὅλης ψυχῆς, καρδίας καὶ διανοίας καὶ τὸν πλησίον ὡς ἑαυτὸν κατὰ τὴν Κυριακὴν ἐντολήν. Ἠγάπησε τὸν Χριστὸν ὑπὲρ πᾶν ἄλλο τι τῶν γηίνων ἀγαθῶν καὶ θησαυρῶν οὕσπερ «κλέπται διορύσσωσι καὶ κλέπτουσι» καὶ ἡ φθορὰ ἀφανίζει κατὰ τὸ Εὐαγγελικόν. Καὶ τοῦτο εἰσέτι τὸ βασίλειον διάδημα ἐβδελύξατο καὶ πᾶσαν βασίλειον ἀξίαν καὶ ἐξουσίαν ὡς σκύβαλον ἐλογίσατο κατὰ τὸν θεῖον Παῦλον ἵνα Χριστὸν κερδήσῃ. Καὶ ἐγένετο μεγαλέμπορος, κατὰ τὴν ὡραίαν ἔκφρασιν τοῦ Ἁγίου Ἀνδρέου Κρήτης ἀνταλλαξάμενος τὰ ἐπίγεια διὰ τῶν οὐρανίων καὶ τὰ φθαρτὰ καὶ ἐπίκηρα διὰ τῶν ἀφθάρτων καὶ αἰωνίων. «Ἐταπείνωσεν ἑαυτὸν γενόμενος ὑπήκοος μέχρι θανάτου» ὡς μιμητὴς τοῦ Δεσπότου Χριστοῦ. Ὡς ἄλλος Δαβὶδ καὶ ὁμόσχημος αὐτῷ βασιλεὺς, ἔλουσε καθ’ ἑκάστην νύκτα τὴν κλίνην αὐτοῦ καὶ τοῖς ὀχετοῖς τῶν δακρύων αὐτοῦ τὴν στρωμνὴν αὐτοῦ κατέβρεξεν. Ἔσπειρεν ἐν θλίψει, τῇ κατὰ Θεόν, καὶ νῦν θερίζει ἐν οὐρανοῖς τὴν αἰωνίαν ἀγαλλίασιν. «Οἱ σπείροντες γὰρ ἐν δάκρυσιν ἐν ἀγαλλιάσει θεριοῦσιν». Ἐγένετο τῦπος καὶ ὑπογραμμὸς βασιλεῦσι καὶ δημόταις, μοναχοῖς καὶ λαϊκοῖς, ἐν ἀναστροφῇ, ἐν λόγῳ καὶ ἐν ἔργῳ, ἐν πᾶσι, κατὰ τὸ Ἀποστολικόν. Ἐπέδειξεν ὑπομονὴν πολλήν, ἀφεὶς πᾶσαν ῥαστώνην καὶ ἡδονὴν καὶ ἄνεσιν τῆς ἐπιγείου Βασιλείας καὶ ἐνεδύθη τὸ ταπεινὸν ρᾶσον, τὸν τῆς ἀληθοῦς φιλοσοφίας τρίβωνα. Ὁ δὲ Θεὸς τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως ἐχαρίσατο αὐτῷ τὴν οὐρανίαν παράκλησιν καὶ ἀνάπαυσιν καὶ ἀπὸ ταύτης τῆς προσκαίρου ζωῆς, ἀλλὰ καὶ νῦν ἐξαιρέτως, τῶν ἐσόπτρων λυθέντων καὶ πρόσωπον πρὸς πρόσωπον ἀτενίζει καὶ καθαρῶς ἐποπτεύει τὴν Ἁγίαν Τριάδα, ἥτις μονὴν παρ’ αὐτῷ ἐποιήσατο. Τὴν Ἁγίαν Τριάδα ἥτις ἐνέπνευσεν εἰς αὐτὸν καὶ τὸν ἱερὸν αὐτοῦ γόνον, τὸν Ἅγιον Σάββαν, ἵνα ἱδρύσωσι τὴν

Ἁγίαν Μονὴν ταύτην, τῶν κόπων καὶ τῶν μόχθων αὐτῶν τὸ ἱερὸν στυλογράφημα. Τὴν Μονὴν ταύτην, τὴν μετὰ περισσῆς φιλοκαλίας καὶ χάριτος θεοπνεύστου οἰκοδομηθεῖσαν καὶ κοσμηθεῖσαν. Τὴν Μονὴν ἥτις διηγεῖται δόξαν Θεοῦ καὶ ἀπεικάζει τὸ κάλλος τῆς οὐρανίου Βασιλείας καὶ ἕλκει πρὸς αὐτὴν τοσοῦτον τοὺς ἐν αὐτῇ ἐνασκουμένους Πατέρας ὅσον καὶ πάντας τοὺς μετ' ἐυλαβείας προσερχομένους ἐν αὐτῇ.

Ἀδελφοὶ καὶ Πατέρες, πᾶς ἄνθρωπος ζεῖ καὶ κινεῖται ἀπὸ τῆς ἡμέρας τῆς συλλήψεως αὐτοῦ ἐντὸς συγκεκριμμένων χρονικῶν καὶ τοπικῶν πλαισίων. Ἐντὸς χώρου καὶ χρόνου περιγραπτοῦ καὶ πεπερασμένου. Ὁ ἐν Χριστῷ ἄνθρωπος, ἀπὸ τῆς ἡμέρας τῆς Βαπτίσεως αὐτοῦ εἰς Χριστόν, ἐφοδιαζόμενος διὰ τῶν ὅπλων τῆς δικαιοσύνης, διὰ τῶν χαρισμάτων τοῦ Ἁγίου Πνεύματος, ἐν τῷ Ἁγίῳ Βαπτίσματι καὶ Χρίσματι, ἀγωνίζεται ὅπως ἁγιάζῃ τὸν τόπον καὶ τὸν χρόνον ἐν ᾧ ζεῖ καὶ κινεῖται, εἰδεμὴ «καταργεῖ τὸν τόπον καὶ τὸν χρόνον», ἵνα μνησθῶμεν τῆς Εὐαγγελικῆς ἐκφράσεως. Ὁ Ἅγιος Συμεὼν ἠγωνίσθη καὶ κυριολεκτικῶς ἡγίασε τὸν τόπον καὶ τὸν χρόνον ἐν ᾧ ἔζησε καὶ ἐκινήθη. Οὕτω ἐπέτυχε τοῦ σκοποῦ δι' οὗ ἐπλάσθη ὑπὸ Θεοῦ καὶ ἐδικαίωσε τὴν τιμὴν τῆς Χάριτος ἵνα πλασθῇ κατ' εἰκόνα καὶ ὁμοίωσιν Θεοῦ ἄνθρωπος. Ἐγένετο βασιλεὺς τῶν παθῶν περισσότερον ἢ Βασιλεὺς ἐπίγειος. Ἀπέκτησε «νοῦν ἡγεμόνα κατὰ παθῶν ὀλεθρίων» κατὰ τὸν ὑμνογράφον καὶ ἐδούλωσε τὴν σάρκα τῷ πνεύματι καὶ οὕτω ἐβίωσε τὴν «ἐλευθερίαν ᾗ Χριστὸς ἡμᾶς ἠλευθέρωσε». Καὶ ὁ χῶρος τοῦτος ἡγιάσθη ἐκ τῆς ἡγιασμένης παρουσίας αὐτοῦ καὶ μεταδίδει τὸν ἁγιασμὸν τοῦτον καὶ τὴν Χάριν ἕως σήμερον καὶ εἰς τὸν αἰῶνα τὸν ἅπαντα. Αὐτῆς τῆς Χάριτος τοῦ Ἁγίου Συμεὼν ὡς ταπεινοὶ ἀναζητηταὶ καὶ ἐκζητηταί, ἤλθομεν καὶ ἡμεῖς σήμερον ἐνταῦθα Σεβαστὲ Γέροντα καὶ ἀγαπητοὶ Πατέρες καὶ ἀδελφοί. Αὐτὴν τὴν ἐκπεμπομένην Χάριν καὶ εὐλογίαν ἐκ τοῦ κενοῦ ἀλλὰ πλήρους ἁγιότητος τάφου τοῦ Ἁγίου ἤλθομεν ἵνα ἑλκύσωμεν. Τοῦ τάφου ὅστις καθὼς καὶ τοῦ Σωτῆρος Χριστοῦ καίτοι κενὸς καὶ μὴ ἔχων ἐντός του τὸ ἅγιον σῶμα τοῦ Ὁσίου, ὅμως ἔχει καταμένοντα ἐν αὐτῷ τὰ γνωρίσματα τοῦ Ἁγίου Πνεύματος ἅπερ εἶχε καὶ τὸ Ἅγιον αὐτοῦ Λείψανον. Τὸ Λείψανον τὸ ἰδιαιτέρως χαριτωθὲν σὺν τοῖς ἄλλοις καὶ διὰ τοῦ σπανίου χαρίσματος τῆς μυροβλυσίας. Καίτοι παρεχώρησεν ὁ Θεὸς, κρίμασιν οἷς οἶδε μόνον Αὐτός, ἵνα ἀπωλεσθῇ αἰσθητῶς ἐξ ἡμῶν ὁ τοιοῦτος θησαυρός, ὅμως οὐκ ἀπώλετο ἡ Χάρις καὶ ἡ εὐλογία αὐτοῦ μυστικῶς. Παρηγορία διὰ τοὺς ἀδελφοὺς τῆς Ἱερᾶς ταύτης Μάνδρας, ἀλλὰ καὶ διὰ πάντας τοὺς προσκυνητὰς ὁ Ἱερὸς τάφος τοῦ Ἁγίου καὶ

ὅσα ἄλλα ἀντικείμενα ἤγγισε καὶ ἐφήψατο ὁ Ἅγιος, καταλιπῶν εἰς αὐτὰ τὴν Χάριν καὶ τὴν εὐλογίαν αὐτοῦ, ἐν οἷς καὶ ἡ διὰ ψηφίδων Ἱερὰ τῆς Θεοτόκου Εἰκών, ἣν εἶχε διαπαντὸς εἰς τὸ κελλίον αὐτοῦ, καὶ ἐτοποθετήθη ἐπὶ τοῦ στήθους αὐτοῦ ἐν τῷ καιρῷ τῆς μακαρίας ἐκδημίας αὐτοῦ.

Εὐχαριστοῦμεν τὸν Θεόν , τὸν αἴτιον παντὸς καλοῦ καὶ ἀγαθοῦ, τὸν ἀξιώσαντα καὶ ἡμᾶς τοὺς ταπεινοὺς ἵνα προσέλθωμεν ἐνταῦθα, ταπεινοὶ προσκυνηταὶ τῆς Χάριτος τοῦ Ἁγίου Συμεών, σήμερον ἐπὶ τῇ ἱερᾷ μνήμῃ αὐτοῦ. Εὐχαριστοῦμεν τὸν Ἅγιον τὸν δεξάμενον ἡμᾶς εἰς τοὺς πατρικοὺς κόλπους αὐτοῦ σήμερον μετὰ πολλῆς στοργῆς καὶ ἐπιεικείας πατρικῆς, παραβλέποντα τὰς πολλὰς ἁμαρτίας καὶ ἀτελείας ἡμῶν καὶ τὸ μέγα χάσμα ὃ ἐστήρικται μεταξὺ τῆς βιοτῆς ἡμῶν καὶ Ἐκείνου καὶ παρηγορήσαντα τὰς ψυχὰς ἡμῶν διὰ τῆς Οὐρανίου παρακλήσεως τῆς εὐπαῤῥησιάστου πρεσβείας αὐτοῦ. Εὐχαριστοῦμεν ὅμως θερμῶς καὶ Ὑμᾶς σεβαστὲ Ἅγιε Καθηγούμενε τοῦ Ἱεροῦ τούτου Κοινοβίου, διά τε τὴν ἀδελφικὴν καὶ ὑπερλίαν τιμητικὴν πρόσκλησιν καὶ διὰ πάσας τὰς ἐκδηλώσεις ἀδελφικῆς ἀγάπης πρὸς ἡμᾶς. Ἡ ἀδελφικὴ Ὑμῶν αὕτη χειρονομία Σεβαστὲ Γέροντα, ἐνισχύει τοὺς ἤδη ἰσχυροὺς δεσμοὺς τῶν Ἱερῶν ἡμῶν Μονῶν. Ὡς γνωστόν, ὁ μακαριστὸς ἡμῶν Γέροντας Χαράλαμπος, ἐπὶ σειρὰν ἐτῶν μετὰ τῆς συνοδείας αὐτοῦ, ἠσκήθη εἰς τὸ Χιλανδαρινὸν Κελλίον τοῦ Ἁγίου Νικολάου Μπουραζέρι καὶ εἶχεν ἀρίστας σχέσεις μετὰ τῆς κυριάρχου Μονῆς Χιλανδαρίου καὶ ηὐλαβεῖτο μεγάλως τοὺς Ἁγίους Συμεὼν καὶ Σάββαν, ἐπιδώσας καὶ τὰ ὀνόματα αὐτῶν εἰς ἀδελφοὺς τῆς συνοδείας αὐτοῦ. Εὐχόμεθα ταπεινῶς καὶ ἀπὸ βάθους ψυχῆς, ἵνα ὁ Κύριος, πρεσβείαις τοῦ Ἁγίου Συμεὼν χαρίζηται Ὑμῖν Γέροντα ἔτη πολλὰ ζωῆς καὶ Ἡγουμενίας, ἀξιῶν Ὑμᾶς ποικίλοις χαρίσμασι καὶ διακρίσει ἵνα ὁδηγῆτε τοὺς ἐμπεπιστευμένους εἰς Ὑμᾶς παρὰ Θεοῦ ἀδελφοὺς εἰς ὁδοὺς σωτηρίας ἐν Χριστῷ.

Ἱκετεύσωμεν ἅπαντες ἀδελφοὶ καὶ Πατέρες τὸν Ἅγιον ἵνα πρεσβεύῃ ἀδιαλείπτως τῷ Κυρίῳ, ἵνα σχῶμεν μετάνοιαν γνησίαν καὶ ὁλόκληρον, τὴν πλέον πάντων ἁρμόζουσαν τῷ σχήματι ἡμῶν. Ἱκετεύσωμεν αὐτὸν ὅπως «τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσωμεν» καὶ ὅπως μὴ καταργήσωμεν τὸν Ἅγιον τοῦτον Τόπον, ὃν ἠξιώθημεν παρὰ Θεοῦ καὶ τῆς Θεομήτορος οἰκεῖν καὶ καταμένειν, ἀλλὰ ἀναθεωροῦντες τὴν ἁγίαν Αὐτοῦ βιοτήν, τὸν ἀγῶνα τὸν καλὸν ἀγωνισθῶμεν ὡς ἐκεῖνος ἵνα καὶ τῆς Οὐρανίου Βασιλείας μέτοχοι γένομεν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, Ὧ ἡ δόξα καὶ ἡ τιμὴ καὶ ἡ προσκύνησις εἰς τοὺς αἰῶνας. Ἀμήν.